23 λιμῷ, [23]καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς
κατοικοῦντας ἐν Αναθωθ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.
12 [1]Δίκαιος εἶ, κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ, πλὴν κρίματα
λαλήσω πρὸς σέ· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται, εὐθήνησαν πάν-
2 τες οἱ ἀθετοῦντες ἀθετήματα; [2]ἐφύτευσας αὐτοὺς καὶ ἐρριζώθησαν,
ἐτεκνοποίησαν καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος
3 αὐτῶν καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. [3]καὶ σύ, κύριε, γινώ-
σκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἅγνισον αὐτοὺς
4 εἰς ἡμέραν σφαγῆς αὐτῶν. [4]ἕως πότε πενθήσει ἡ γῆ καὶ πᾶς ὁ χόρ-
τος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ;
ἠφανίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶπαν Οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς
5 ἡμῶν. [5]σοῦ οἱ πόδες τρέχουσιν καὶ ἐκλύουσίν σε· πῶς παρασκευάσῃ
ἐφ᾽ ἵπποις; καὶ ἐν γῇ εἰρήνης σὺ πέποιθας· πῶς ποιήσεις ἐν φρυάγ-
6 ματι τοῦ Ιορδάνου; [6]ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ πα-
τρός σου, καὶ οὗτοι ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω
σου ἐπισυνήχθησαν· μὴ πιστεύσῃς ἐν αὐτοῖς, ὅτι λαλήσουσιν πρὸς
σὲ καλά.
7 [7]Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου,
8 ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. [8]ἐγε-
νήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ· ἔδωκεν ἐπ᾽ ἐμὲ
9 τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. [9]μὴ σπήλαιον ὑαίνης
ἡ κληρονομία μου ἐμοὶ ἢ σπήλαιον κύκλῳ αὐτῆς; βαδίσατε συν-
αγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν.
10 [10]ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν
μερίδα μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον·
11 [11]ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας, δι᾽ ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα
12 ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ. [12]ἐπὶ πᾶσαν διεκ-
βολὴν ἐν τῇ ἐρήμῳ ἦλθον ταλαιπωροῦντες, ὅτι μάχαιρα τοῦ κυρίου
καταφάγεται ἀπ᾽ ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς, οὐκ ἔστιν
13 εἰρήνη πάσῃ σαρκί. [13]σπείρατε πυροὺς καὶ ἀκάνθας θερίσατε· οἱ
κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς· αἰσχύνθητε ἀπὸ καυχή-
σεως ὑμῶν, ἀπὸ ὀνειδισμοῦ ἔναντι κυρίου.

23 οτι] και S† | επισκεψεως] -σκοπης $B^c L$

12 1 αθετηματα] -τημα S, -τησει A† || 2 ερ(ρ)ιζωσαν SA† | ετεκνοποιησαντο B† | και εποιησαν > S† || 3 δεδοκ.] εδοκιμασας A† || 4 ο χορτος του αγρου] χορτος A† | εν αυτη] αυτων A† | ηφανισας A† | οτι] και A† || 5 εκλυσουσιν A | παρασκευαζη S | συ mu.] ου BS*, σου $AS^c$ | ποιησω S*† || 6 και $1^0$ > A | και ουτοι > A† | λαλησουσιν] ησ > B* | προς] επι A† || 9 υαινης] ληστων A†: ex 7 11 | η σπηλ. κυκλω αυτης > A† | συναγετε B*† | φαγειν] pr. κατα A† || 10 μου $1^0 \frown 2^0$ S† | μερ. επιθ. μου S] μερ. μου επιθ. A, την μερ. την επιθ. μου B | ερημ. αβατ.] tr. S† || 11 ετεθη] εγενηθη A | αφανισμω ηφανισθη] tr. S || 12 ηλθοσαν A | κατεφαγεν A | της γης $1^0 \frown 2^0$ B* | εως] pr. και A || 13 σπειρατε] pr. ε A | ακανθαν B† | θερισατε] -ιζετε B, -ισεται(pro -τε) $S^{(†)}$ | αισχυνθ.] + αισχυνην A† | ονειδισμου] -μων S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/680 UNIVERSITÄT LEIPZIG